L. Bl. IV. 105.
21a

Ad Bibl. Acad. Lund.

# ΥΜΝΟΣ

ΕΙΣ

# ΙΗΣΟΥΝ ΧΡΙΣΤΟΝ

ΑΠΟΘΑΝΟΝΤΑ ΥΠΕΡ ΗΜΩΝ.

---

# HYMNVS

IN

# IESVM CHRISTVM

PRO NOBIS MORTVVM,

C. G. S. P. P.

Ὦ πότμος ὢ φρικώδης,
Οὐ τλητὸς, οὐδὲ ῥητός!
Ὦ δηξίθυμα πένθη!
Θεοῦ τὸ τέκνον ἁγνὸν,
Μεγήρατόν τε τέκνον,
Σεβάσμιόν τε τέκνον,
Ἀναιρεθὲν τέθαπται.
Ἄναξ ἄναρχε κόσμου,
Ἄφθεγκτε πατρὸς αὐγὴ,
Σῶτέρ τε καὶ θεός μου,
Σε πῶς, κράτιστε ΧΡΙΣΤΕ,
Σὲ πῶς ἐγὼ δακρύσω
Θανόντα καὶ ταφέντα;
Οἰκτρὸν δ' ἔην θέατρον
Τῇ γῇτε, κὠρανῷτε.
Ἔην κακοῖς ἀπείροις,
Νόσοιςτε, συμφοραῖςτε,
Καὶ πημοναῖς, καλυφθείς.
Ἔην πικροῦ τυράννου,
Καὶ ταρτάρου κελαινοῦ,
Καὶ σαρκὸς, αἰχμάλωτος.
Σὺ δ' ἀλλὰ, θεῖε Σῶτερ,
Κῦδός τε τῶν ἄνωθεν,
Καὶ τῶν κράτος χθονίων,
Εὐσπλαγχνίῃ ἀρήτῳ,
Δόξης σέθεν κενωθεὶς,
Καὶ δουλικὴν φορήσας
Μορφὴν, ξένος κατῆλθες,
Ἔμεγ' ἐκ κακοῦ σαῶσαι,

πα-

παθημάτων τε πάντων,
Ἁμαρτιῶν θ' ἁπάσεων.

Ὦ θαῦμα παμμέγιστον!
Δι' ὃν τὰ πάντ' ἐτέχθη,
Δι' ὃν ἥλιος προλάμπει,
Δι' ὃν ἄγγελοι φάουσιν·
Αὐτὸς δεθεὶς λυγροῖσι
Βρόχοις, πεπαρμένος τε
Ἥλοις τοροῖσι, γυμνὸς,
Ἐπὶ ξύλῳ βεβήλῳ
Ἄλγος τε καί τε δίψος,
Χλεύας τε καὶ τ' ὀνείδη,
Ἀναξίως ἀνεῖχε,
Καὶ τοὔσχατον προθύμως
Θείαν τέθεικε ψυχάν.

Ἄγε, θυμὲ, πῆ καθεύδεις;
Ἄγε, θυμὲ, πῆ μέμηνας;
Ἄφες ὕπνον ἐξάγιστον,
Μανίην ἄφες βαρείην!
Ἕως πότ' εἶ βέβηλος;
Ἕως μάταια στέργεις;
Ἄγε, θυμὲ καὶ σεβίσας
Ἀνάβαινε, μηδὲ μέλλε,
Χθονὶ τὰ χθονὸς λελοιπώς!
Ἄγε, θυμὲ, δέρκε κλαίων
Σωτῆρα τὸν παθόντα,
Σωτῆρα τὸν θανόντα,
Σωτῆρα τὸν ταφέντα!

Σὺ δ' ἀλλὰ, Λαοσῶσα,
Βλαβερῶν προτῶν λυτρωτὰ,
Νούσων ἐμῶν ἀκεστὰ,
Πάρελθί μοι στένουσῃ,
Πάρελθι προσκυνούσῃ!
Ἰσχὺν σέθεν δίδου μοι,
Σὺ καὶ πεσόντ' ἔγειρε,
Σὺ τεθνεῶτ' ἀνίστα!
Ὁ σοῦ πόνος με τέρποι,
Ἡ σεῖο φρίξ με θάλποι,
Ὕβρις μέ σευ ἀγάλλοι,
Θάνατός τε ζωοποιοῖ!
Αὐτὸς δέ μοι χορηγοῖς
Τὴν σὴν χάριν συνεργὸν,
Τὴν πίστιν εὐφύλακτον,
Τὴν ἐλπίδα κρατοῦσαν,
Ἀγάπην τε φιλάδελφον!
Ἀπό μου ζωᾶς ἐρύκοις
Ὁρμὰν παθῶν ἀνάγνων,
Καὶ ἡδονῶν ἀσέμνων,
Πάσην τε κακονοίην!
Χαίρετε λοιπὸν ἡμῖν,
Δυσηλεγεῖς μέριμναι!
Χαίρετε δῶρα κόσμου,
Καὶ τῆς τὸ χάρμα σαρκὸς,
Οὐδέν γ' ὑμῖν τε κἀμοί!
Θυμὸς γὰρ ἐνθεάζων
ΧΡΙΣΤΟΝ θανόντα μοῦνον,
ΧΡΙΣΤΟΝ τε ζῶντα, δίζει.